ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ,
οἰκίαν ἔχοντι παρὰ θάλασσαν. Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν
τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν καὶ στρατιώτην εὐσεβῆ
τῶν προσκαρτερούντων αὐτῷ, καὶ ἐξηγησάμενος ἅπαντα ὑμῖν
ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην. Τῇ δὲ ἐπαύριον ἐκείνῃ ὁδοιπορούντων
αὐτῶν καὶ τῇ πόλει ἐγγιζόντων ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι
περὶ ὥραν ἕκτην. Ἐγένετο δὲ προσπεινῆσαι καὶ ἤθελεν γεύσασθαι·
παρασκευαζόντων δὲ ἔπεσεν ἐπ' αὐτὸν ἔκστασις, καὶ θεωρεῖ τὸν
οὐρανὸν ἀνεῳγμένον καὶ καταβαῖνόν τι σκεῦος ὡς ὀθόνην μεγάλην
τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐπὶ τῆς γῆς, ἐν ᾧ ὑπῆρχεν πάντα τὰ
τετράποδα καὶ ἑρπετὰ τῆς γῆς καὶ πετεινὰ τοῦ οὐρανοῦ. Καὶ ἐγένετο
φωνὴ πρὸς αὐτόν· Ἀναστὰς Πέτρε, θῦσον καὶ φάγε. Εἶπεν δὲ Πέτρος·
Μηδαμῶς, κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον.
Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· Ἃ ὁ θεὸς ἐκαθάρισεν σὺ
μὴ κοίνου. Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ εὐθὺς ἀνελήμφθη τὸ
σκεῦος εἰς τὸν οὐρανόν. Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος τί ἂν εἴη
τὸ ὅραμα ὃ εἶδεν, ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ὑπὸ τοῦ Κορνηλίου
διερωτήσαντες διὰ τοῦ πυλῶνος ἐπέστησαν ἐπὶ τὸν πυλῶνα φωνήσαντες
καὶ καλοῦντες εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνταῦθα ξενίζεται.
Τοῦ δὲ Πέτρου διενθυμουμένου περὶ τοῦ ὁράματος εἶπεν τὸ πνεῦμα
αὐτῷ· Ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσίν σε· ἀλλὰ ἀναστὰς κατάβηθι καὶ
πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος, ὅτι ἐγὼ ἀπέσταλκα αὐτούς.
Καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας εἶπεν· Ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε·
τίς ἡ αἰτία δι' ἣν πάρεστε; Οἱ δὲ εἶπαν· Κορνήλιος ἑκατοντάρχης,
ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν θεὸν μαρτυρούμενός τε ὑπὸ ὅλου
τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαι
σε εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. Εἰσκαλεσάμενος
οὖν αὐτοὺς ἐξένισεν. Τῇ δὲ ἐπαύριον ἀναστὰς ἐξῆλθεν σὺν αὐτοῖς,
καί τινες τῶν ἀδελφῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ. Τῇ δὲ ἑτέρᾳ
εἰσῆλθεν εἰς Καισάρειαν. Ὁ δὲ Κορνήλιος προσδοκῶν αὐτοὺς συνκαλεσάμενος
τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους. Ὡς δὲ ἐγένετο
τοῦ εἰσελθεῖν τὸν Πέτρον συναντήσας αὐτῷ ὁ Κορνήλιος πεσὼν ἐπὶ
τοὺς πόδας προσεκύνησεν. Ὁ δὲ Πέτρος ἤγειρεν αὐτὸν λέγων· Ἀνάστηθι·
καὶ αὐτὸς ἄνθρωπός εἰμι. Καὶ συνομιλῶν αὐτῷ εἰσῆλθεν καὶ εὑρίσκει
συνεληλυθότας πολλούς· ἔφη τε πρὸς αὐτούς· Ὑμεῖς ἐπίστασθε ὡς
ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ·
κἀμοὶ ὁ θεὸς ἔδειξεν μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον·
διὸ καὶ ἀναντιῤῥήτως ἦλθον μεταπεμφθείς. Πυνθάνομαι οὖν τίνι λόγῳ
μετεπέμψασθέ με; Καὶ Κορνήλιος ἔφη· Ἀπὸ τετάρτης ἡμέρας μέχρι
ταύτης τῆς ὥρας ἤμην τὴν ἐνάτην προσευχόμενος ἐν τῷ οἴκῳ μου,
καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ καὶ φησίν· Κορνήλιε,
εἰσηκούσθη σου ἡ προσευχὴ καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν
ἐνώπιον τοῦ θεοῦ. Πέμψον οὖν εἰς Ἰόππην καὶ μετακάλεσαι Σίμωνα
ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως
παρὰ θάλασσαν. Ἐξαυτῆς οὖν ἔπεμψα πρός σε, καὶ σὺ καλῶς ἐποίησας
παραγενόμενος. Νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ θεοῦ πάρεσμεν
ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ κυρίου. Ἀνοίξας δὲ
Πέτρος τὸ στόμα εἶπεν· Ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστιν
προσωπολήμπτης ὁ θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν
καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν. Τὸν λόγον ὃν
ἀπέστειλεν τοῖς υἱοῖς Ἰσραὴλ εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ
Χριστοῦ, οὗτός ἐστιν πάντων κύριος· ὑμεῖς οἴδατε τὸ γενόμενον
ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ
τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲθ ὡς
ἔχρισεν αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν
καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου,
ὅτι ὁ θεὸς ἦν μετ' αὐτοῦ. Καὶ ἡμεῖς μάρτυρες πάντων ὧν ἐποίησεν
ἐν τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ Ἰερουσαλήμ, ὃν καὶ ἀνεῖλαν κρεμάσαντες
ἐπὶ ξύλου· τοῦτον ὁ θεὸς ἤγειρεν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἔδωκεν αὐτὸν
ἐμφανῆ γενέσθαι, οὐ παντὶ τῷ λαῷ ἀλλὰ μάρτυσιν τοῖς προκεχειροτονημένοις
ὑπὸ τοῦ θεοῦ, ἡμῖν οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ
τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν, καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ
καὶ διαμαρτύρασθαι ὅτι οὗτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ θεοῦ κριτὴς
ζώντων καὶ νεκρῶν. Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν ἄφεσιν
ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς
αὐτόν. Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα ἐπέπεσεν τὸ
πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον. Καὶ ἐξέστησαν
οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθαν τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη
ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται· ἤκουον γὰρ αὐτῶν λαλούντων
γλώσσαις καὶ μεγαλυνόντων τὸν θεόν. Τότε ἀπεκρίθη Πέτρος· Μήτι
τὸ ὕδωρ κωλῦσαι τις δύναται τοῦ μὴ βαπτισθῆναι τούτους οἵτινες
τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς; Προσέταξεν τε αὐτοὺς
ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτισθῆναι. Τότε ἠρώτησαν αὐτὸν
ἐπιμεῖναι ἡμέρας τινάς.

Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν
ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ θεοῦ. Καὶ ὅτε ἀνέβη Πέτρος
εἰς Ἱερουσαλήμ, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς λέγοντες
ὅτι Εἰσῆλθες πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας καὶ συνέφαγες αὐτοῖς.
Ἀρξάμενος δὲ Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς λέγων· Ἐγὼ ἤμην
ἐν πόλει Ἰόππῃ προσευχόμενος καὶ εἶδον ἐν ἐκστάσει ὅραμα καταβαῖνόν
τι σκεῦος ὡς ὀθόνην μεγάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ
οὐρανοῦ, καὶ ἦλθεν ἄχρι ἐμοῦ· εἰς ὃ κατανοήσας ἐνέβλεπον καὶ
ἐθεώρουν τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ
πετεινὰ τοῦ οὐρανοῦ. Ἤκουσα δὲ καὶ φωνῆς λεγούσης μοι· Ἀναστὰς
Πέτρε, θῦσον καὶ φάγε. Εἶπον δέ· Μηδαμῶς, κύριε, ὅτι κοινὸν ἢ
ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου. Ἀπεκρίθη δὲ ἐκ
δευτέρου φωνὴ ἐκ τοῦ οὐρανοῦ· Ἃ ὁ θεὸς ἐκαθάρισεν σὺ μὴ κοίνου.
Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνεσπάσθη τὰ πάντα εἰς τὸν
οὐρανόν. Καὶ ἰδοὺ ἄνδρες τρεῖς ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην
ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με. Εἶπεν δὲ τὸ πνεῦμα μοι
συνελθεῖν αὐτοῖς μηδὲν διακρίνοντα. Ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ
ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός. Ἀπήγγειλεν
δὲ ἡμῖν πῶς εἶδεν τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα·
Ἀπόστειλον εἰς Ἰόππην καὶ μετακάλεσαι Σίμωνα τὸν ἐπικαλούμενον
Πέτρον, ὃς λαλήσει ῥήματα πρὸς σὲ ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός
σου. Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον
ἐπ' αὐτοὺς ὡσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ. Ἐμνήσθην δὲ τοῦ ῥήματος
τοῦ κυρίου ὡς ἔλεγεν· Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ
βαπτισθήσεσθε πνεύματι ἁγίῳ. Εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς
ὁ θεὸς ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν κύριον Ἰησοῦν Χριστόν,
ἐγὼ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν θεόν; Ἀκούσαντες δὲ ταῦτα
ἡσύχασαν καὶ ἐδόξασαν τὸν θεὸν λέγοντες· Ἄρα καὶ τοῖς ἔθνεσιν
ὁ θεὸς τὴν μετάνοιαν εἰς ζωὴν ἔδωκεν.

Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ
Στεφάνῳ διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ
λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις. Ἦσαν δέ τινες ἐξ αὐτῶν
ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι οἵτινες ἐλθόντες εἰς Ἀντιόχειαν
ἐλάλουν πρὸς τοὺς Ἕλληνας εὐαγγελιζόμενοι τὸν κύριον Ἰησοῦν.
Καὶ ἦν χεὶρ κυρίου μετ' αὐτῶν, πολύς τε ἀριθμὸς ὁ πιστεύσας ἐπέστρεψεν
ἐπὶ τὸν κύριον. Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς
οὔσης ἐν Ἱερουσαλὴμ περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρναβᾶν διελθεῖν
ἕως Ἀντιοχείας. Ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τὴν τοῦ θεοῦ
ἐχάρη καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ
κυρίῳ· ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως.
Καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ κυρίῳ. Ἐξῆλθεν δὲ εἰς Ταρσὸν
ἀναζητῆσαι Σαῦλον, καὶ εὑρὼν ἤγαγεν εἰς Ἀντιόχειαν. Ἐγένετο δὲ
αὐτοὺς καὶ ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ καὶ διδάξαι
ὄχλον ἱκανόν, χρηματίσαί τε πρώτως ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς
Χριστιανούς. Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱερουσαλὴμ
προφῆται εἰς Ἀντιόχειαν. Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος
ἐσήμαινεν διὰ τοῦ πνεύματος λιμὸν μεγάλην μέλλειν ἔσεσθαι ἐφ' ὅλην
τὴν οἰκουμένην, ὅς ἐστιν ἐπὶ Κλαυδίου. Τῶν δὲ μαθητῶν καθὼς
εὐπορεῖτό τις ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν
ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς· ὃ καὶ ἐποίησαν ἀποστείλαντες πρὸς τοὺς
πρεσβυτέρους διὰ χειρὸς Βαρναβᾶ καὶ Σαύλου.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας
κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. Ἀνεῖλεν δὲ Ἰάκωβον τὸν
ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστιν τοῖς Ἰουδαίοις
προσέθετο συλλαβεῖν καὶ Πέτρον. Ἦσαν δὲ ἡμέραι τῶν ἀζύμων.
Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσιν τετραδίοις
στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ πάσχα ἀναγαγεῖν
αὐτὸν τῷ λαῷ. Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ, προσευχὴ
δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν θεὸν περὶ αὐτοῦ.
Ὅτε δὲ ἤμελλεν προαγαγεῖν αὐτὸν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ
Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσιν δυσίν,
φύλακες δὲ πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. Καὶ ἰδοὺ ἄγγελος
κυρίου ἐπέστη καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν
τοῦ Πέτρου ἤγειρεν αὐτὸν λέγων· Ἀνάστα ἐν τάχει. Καὶ ἐξέπεσαν
αἱ ἁλύσεις ἐκ τῶν χειρῶν αὐτοῦ. Εἶπεν δὲ ὁ ἄγγελος πρὸς αὐτόν·
Περιζώσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Καὶ ἐποίησεν οὕτως.
Καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι.
Καὶ ἐξελθὼν ἠκολούθει καὶ οὐκ ἤδει ὅτι ἀληθές ἐστιν τὸ γινόμενον
διὰ τοῦ ἀγγέλου, ἔδοξεν δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην
καὶ δευτέραν φυλακὴν ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν
εἰς τὴν πόλιν, ἥτις αὐτοῖς ἠνοίγη αὐτομάτη· καὶ ἐξελθόντες προῆλθον
ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ. Καὶ ὁ Πέτρος
ἐν ἑαυτῷ γενόμενος εἶπεν· Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλεν ὁ κύριος
τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλατό με ἐκ χειρὸς Ἡρῴδου καὶ πάσης τῆς
προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. Συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν
Μαρίας τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν
ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι. Κρούσαντος δὲ αὐτοῦ τὴν
θύραν τοῦ πυλῶνος προσῆλθεν παιδίσκη ὑπακοῦσαι ὀνόματι Ῥόδη·
καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξεν τὸν
πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ
πυλῶνος. Οἱ δὲ πρὸς αὐτὴν εἶπαν· Μαίνῃ. Ἡ δὲ διϊσχυρίζετο οὕτως
ἔχειν. Οἱ δὲ ἔλεγον· Ὁ ἄγγελος αὐτοῦ ἐστιν. Ὁ δὲ Πέτρος ἐπέμενεν
κρούων. Ἀνοίξαντες δὲ εἶδον αὐτὸν καὶ ἐξέστησαν. Κατασείσας δὲ
αὐτοῖς τῇ χειρὶ σιγᾶν διηγήσατο αὐτοῖς πῶς ὁ κύριος αὐτὸν ἐξήγαγεν
ἐκ τῆς φυλακῆς εἶπέν τε· Ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς
ταῦτα. Καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον. Γενομένης δὲ ἡμέρας
οὐκ ὀλίγος τάραχος ἦν ἐν τοῖς στρατιώταις τί ἄρα ὁ Πέτρος ἐγένετο.
Ἡρῴδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρὼν ἀνακρίνας τοὺς φύλακας
ἐκέλευσεν ἀπαχθῆναι, καὶ κατελθὼν ἀπὸ Ἰουδαίας εἰς Καισάρειαν
διέτριβεν.

Ἦν δὲ θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· οἱ δὲ ὁμοθυμαδὸν παρῆσαν
πρὸς αὐτόν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως
ἠτοῦντο εἰρήνην διὰ τὸ τρέφεσθαι τὴν χώραν αὐτῶν ἀπὸ τῆς βασιλικῆς.
Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρῴδης ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν καὶ καθίσας
ἐπὶ τοῦ βήματος ἐδημηγόρει πρὸς αὐτούς. Ὁ δὲ δῆμος ἐπεφώνει θεοῦ
φωνὴ καὶ οὐκ ἀνθρώπου. Παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος κυρίου

Et ait: Tu quem injurijs afficis, ego sum Jesus.
Et tibi difficile durumq; adversus acutos stimulos
Calcitrare, simul & cum potentioribus contendere.
Stupens autem vehementer Saulus respondebat ver-
Domine dic, quid nunc vis ut efficiam? (bo:
Sic ait stupefactus. Hunc a. rursus compellabat Ie-
Surge de terra, & vade in civitatem, (sus:
Illic enim cognosces, quaecunq; tibi facienda sunt.
Alij verò viri, cum Saulo qui conversati fuerant,
Stantes timidi, prope vocem quidem audiverunt
Cœlo ex alto, oculi autem nihil viderunt.
Surrexit verò de terra Saulus consternatus cor,
Oculosq; aperiens vidit neminem, cœcus existens.
Alij verò ipsũ ducebant homines manu prehẽdentes,
Et unà cum ipso ibant in pulcras fœminas habentem
Dies verò tres non vidit lumen Solis, (Damascum.
Et omninò cibum non attigit, neq; potum.
Erat a. quispiam, Ananias cui nomen erat, discipulus
Ibi maximè insignis, ad hunc sermonem dixit
Christus redemtor in visione & ait:
O Anania dilecte fili nunc audi me, quod dixero.
Huic verò iterum Ananias respondebat inclytus vir
Domine hic existens expecto, mihi quod imperaturus es.
Et dixit vicissim Deus: Celeriter surge & in vicum
Protinus ito, quem homines rectum vocant,
Ut ingrediens venerandi ædes umbrosas Judæ,
Quære Saulum, Tarsensis cui cognomen est,

347 τὴν ἴδε ὀτραλέως μέγα ἤδη ἐπεύχετε αὐτός.
ταῦτα δὲ ὡς θείη πρός μιν μυθήσατο αὐδὴ,
ἐν θέᾳ οὐρανίῃ Σαῦλος τινα βλέψε μολόντα
οὔνομα Ἀνανίαν καὶ χεῖρα τιθέντα ἐπ' αὐτόν,
ὄφρ' ἄμφω πάλιν αὖ δέξηται φάεα καλά.

Ἀνανίας δ' αὖτις προσεφώνεε κύριον ἐσθλὸς.
σχέτλια πολλὰ ἐγὼ τούτου περὶ ἀνδρὸς ἄκουσα,
ὅττι τεοὶς κακὰ πολλὰ φίλοις ἁγίοισιν ἔωργεν
ἐν Σολύμων ἄστει, καὶ νῦν ἀπ' ἀρχιερήων
ἔλλαβε τὴν δύναμιν δῆσαι θυμαλγέσι δεσμοῖς
πάντας, ὅσους κλητὸν οὔνομά σον τιμῶντας ἐφεύροι.

Ὡς φάτο Ἀνανίας. Τόνδ' αὖτε θεὸς προσέειπε.
καρπαλίμως ἴθι νῦν, σκεῦος γὰρ ὑπάρχει ἐκεῖνος
ἐκλεκτὸν, πάντη ὅ τι καὶ κατ' ἀπείρονα κόσμον
οὔνομα κηρύξει, ἐμὸν αἰδοῖον καὶ ἀγαυόν
παντοδαπῶν προπάροιθε βροτῶν μεγάλων τε ἀνάκτων
ἠδὲ Ἰουδαίων, καὶ τούτῳ ἐγὼν ἐπιδείξω
ἄλγεα ὅσσα παθεῖν μιν δεῖ χάριν εἵνεκ' ἐμοῖο
οὐνόματος, βῆ δ' Ἀνανίας τὸν μύθον ἀκούσας,
καὶ μέγαρον καταδὺς, ἐπὶ Σαῦλον χεῖρα τέθεικε;
καί μιν προσφωνῶν ἔπεα πτερόεντα προσηύδα,
θάρσει Σαῦλε ἀδελφὲ, καὶ οὐκ ἔτι δείδιθι θυμῷ.
κύριος ἐν τῇ ὁδῷ, τὴν ἔρχεό ὅς σοι ἐφάνθη,
δεῦρό με εἰσπέμψεν, σοῖς αὖθ' ἵνα ὄμμασι λεύσσῃς.

Ὡς φάτη, τοῦ δ' ἀπ' ὀφθαλμῶν τι ἔπιπτε χάμαζε,
τῆς λεπίδεσσιν ἐοικὸς, καὶ τότε αὖτις ὄπωπεν.
ἠδ' ἀνστὰς τάχα βασκίσθη περικαλλέϊ λυτρῷ.

καὶ

Ecce diligenter valdè jam precatur ipse.
Hec autem cum divina ad ipsum dixisset vox,
In visione cœlesti Saulus quendam vidit venientem
Nomine Ananiam, & manum ponentem super ipsum,
Ut ambo rursum reciperet lumina bona. 5
Ananias verò iterum compellabat Dominũ bonus:
Iniqua multa ego de hoc viro audivi,
Quod tuis mala multa dilectis sanctis intulerit
In Solymorum urbe. Et nunc ab archisacerdotibus
Accepit potestatem vinciendi animum cruciantibus 10
vinculis (derit.
Tuos sanctos, quos inclytum nomen tuum colentes offen-
Sic ait Ananias. Hunc verò iterum Deus alloque-
Ubi exemplo nunc, vas enim est ille (batur:
Electum, quod ubiq; per infinitum mundum,
Nomen prædicabit meum venerandum & inclytum 15
Omnigenis coram hominibus, magnis q; regibus,
Et Judæis. Atq; huic ego monstrabo
Dolores, quos perpeti eum oportet mei causa.
Dominus. Abijt autem Ananias, postquam sermonem audivit.
Et domum ingressus super Saulum manum posuit, 20
Et ipsum compellans verbis volucribus allocutus est:
Confide ô Saule frater, nec amplius metuas animo:
Dominus in via, quam venisti, qui tibi apparuit,
Huc me misit, tuis iterum ut oculis videas.
Sic ait: hujus verò ab oculis quippiam cadebat in terram 25
Squamis simile, & tunc iterum vidit.
Et surgens statim baptizatus est pulcro lavacro.

καὶ μετέπειτα ἔδων ἄῤῥωστον σῶμ' ἀνέπαυσε.
μίμνε δὲ Σαῦλος ἐπὶ χρόνον αὐτόθι τοῖσι μαθητῆς
κυδαλίμοισιν ὁμιλῶν, καὶ τάχα ἦρξεν Ιησοῦν
κηρύσσειν μάλα θαρσελέως ἐν τῆς συναγωγῆς.
Φάσκων τοῦτον ἔμεν θεοῦ υἱέα αἰὲν ἐόντος.
θάμβος δ' ἦχε βροτοὺς πάντας, τάδε ὅσσοι ἄκουον.
ἠδ' ἐκ πληγέντες μετ' ἀλλήλοις ἀγόρευον.
οὐχ' οὗτος πέλεται ἄθεος κακοέργος ἐκεῖνος,
ὃς πόλει ἐν Σολύμων θνητοῖς ἐπὶ χεῖρας ἴαλλεν,
οὔνομα τοῦ Χριστοῦ ὅσοι εὐσεβέως ἱκέτευσαν,
δεῦρό τε καὶ διὰ τοῦτ' ἀφίκανεν, ὅπως ἅμα πάντας
τοὺς αὐτοὺς ἄξη πρὸς ἀγήνορας ἀρχιερῆας,
Σαῦλος δ' αὔξηται μᾶλλον δυνάμει τ' ἀρετῇ τε.
ἠδ' ἤλεγξεν Ιουδαίους, ἄλλους τε πολίτας,
οἳ ναίοντο Δαμάσκῳ ἐν εὐκτιμένῳ πτολιέθρῳ.
δὺ καὶ ἐπισταμένως δείξας Γαλιλαῖον Ιησοῦν
Χριστὸν ἔμεν σωτῆρα βροτῶν μερόπων πανάριστον.

ΕΥΑΓΓΕΛΙΟΝ,

Ματθ. ιθ.

ὑπόθεσις.

Ἄφθονος ἀνθρώπῳ ἔσεται μισθὸς καὶ ἀμοιβὴ
τῷ ἕνεκεν Χριστοῦ κτῆμα λιπόντι ἐόν.

Ἐξαῦτις Πέτρος μύθοις προσέειπεν Ιησοῦν:
ἠνίδε ἑπόμενοί σοι ἅπαντ' ἀπελείψαμεν ἡμεῖς,
πέφραδε γοῦν ἡμῖν παρὰ σεῖο τίς ἔσται ἀμοιβή,
τόνδ' αὖ λαοσόος θεοῦ υἱεὺς ἀντίον ἤυδα.
νημερτές σοι ἐρῷ, σὺ δὲ σῷ ἐνικάτθεο θυμῷ

ὅσσοι

Ac postea comedens corpus imbecillum refecit.
Manebat autem Saulus ad tempus ibi cum discipulis
Inclytis conversans, & mox cœpit Jesum
Prædicare valdè confidenter in conventibus,
Dicens hunc esse Dei filium sempiterni.
Stupor autem tenebat homines cunctos, qui hæc au-
Et attoniti invicem dicebant: (diebant.
Nonne hic est impius maleficus ille,
Qui in urbe Solymorum hominibus manus injecit,
Nomen Christi quotquot piè invocarunt,
Et huc propterea venit, ut simul omnes
Illos ducat ad superbos archisacerdotes?
Saulus verò crescebat magis potentia q; virtute q;,
Et convincebat Judæos, alios q; cives,
Qui habitabant in Damasco benè fabricata civitate,
Benè scite q; monstrans Galilæum Jesum (mum.
Christum esse servatorem hominum variè loquentium longe opti-

EVANGELIUM.
Matth. 19.

Summa.

Abunda homini futura est merces ac retributio,
Qui propter Christum possessionis relinquit suas.

TUm Petrus verbis alloquitur Jesum:
Ecce te sequentes omnia reliquimus nos,
Dic igitur, nobis à te quanam erit compensatio?
Huic autem rursus populi servator Dei filius respon-
Verè dicam tibi, tu verò tuo repone in animo, (dit:

ἔσοι ἔμοιγ' ἕστεσθε, φίλοι, ἐν ἀναστάσῃ αὖτῃ
τ' ιερῶν, ὁπόταν καθίσῃ θεὸς ὑὸς ἀμύμων
ἐν τῷ εὐκλιμβόῳ κλισμῷ κύδος σφετέρσιο,
δὴ τότε καὶ ὑμεῖς καθίσεσθ' ἐπὶ δώδεκα ἕδρης,
δώδεκα κρίνοντες φύλα Ισραὴλ ἀγαυά.
Ως ἄρα φωνήσας ἐπὶ τοῖσιν μῦθον ἔφπεν.
εἴνεκεν ὀνόματός μοι ὅτις ποτὲ οἶκον ἀφῆκεν,
ἠὲ κασιγνήτης, ἢ ἀδελφεὸς, ἠὲ τοκῆας,
ἢ ἄλοχον χαρίεσσαν ἐμοὶ, ἢ φίλτατα τέκνα.
ἢ ἀβεκαλλέας ἀγρούς, καὶ βαθὺ λήϊον, ἕνεκ'
οὐκ ἀπὸ μέτρου, ἀλλὰ πολὺ λώϊον αὖτε
λήψεσθ' ἐξοπίσω, τε καὶ ἀθάνατον διὰ νῶϊν ἔσεσθαι.

ΕΝ ΗΜΕΡΑ ΚΑΘΑΡΙΣΜΟΥ ΜΑΡΙΑΣ τῆ παρθένου ἐπιστολὴ Μάλαχ. γ.

ὑποθεσις.

Ἄγγελος ἀφάνιος καταβὰς, τύχε πᾶν ἀσέβημα.
Εὐθυνεῖ, δ' ἐσθίων ἄμυ' ἐπιδέχνυμι νόμον.

Ηνίδε πέμψω ἐμὸν ταχὺν ἄγγελον ἐβδομοεργέν
ὃς καὶ ἑτοιμάσῃ οἶμον ἄφαρ πρὸ πάροιθεν ἐμεῖο.
ἐξαπίνης δ' ἥξει τότε κύριος ἀστεροπητὴς,
ὑμεῖς ὃν ζητεῖτε, καὶ ἀγγελίης διαθήκης
ἄγγελος ὁρμιέδων; ὃ ἔλεγε πρὸς ἔννομος ὑμᾶς.
ἰδοὺ ἐνδόξως ἥκει, καὶ πάντα κυβερνῶν
φησὶ θεὸς, σωτὴρ ὃς ἐπὶ χθονὶ σῶσεν ἐόντων
ἦμαρ ἀφίξιος ἀργαλέον δυνατὸς ἀνέχεσθαι,
ἢ τίς ἐν ὀπασίᾳ αὐτοῦ ἑστεῖ ἄμεμπτος,
ὅτε πυρὶ χρυσοχόος μαλερῷ ἐναλίγκιος ἔσται,

Quotquot me secuti estis ô dilecti, in resurrectione insigni
Mortuorum, quando sedebit Dei filius inculpatus
In benè facta sede gloriæ suæ.
Tunc & vos sedebitis super duodecim sellis,
Duodecim judicantes genera Israëlis inclyti.
Sic sanè cùm esset locutus, amplius tale verbũ dixit:
Propter nomen meum quicunq; aliquando domum
Aut fratres, aut sorores, aut parentes, (liquit:
Aut conjugem amabilem suam, aut carissimos liberos,
Aut pulcros agros, & proceras segetes, ille
Non eadem mensura, sed multò melius illa
Recipiet postea, & cœlum latum supernè.

IN DIE PURIFICATIONIS MARIÆ, Epistola Malach. 3.

Summa.

Angelus cœlestis descendens, mox omnem impietatem
Corriget, pietatem nobis monstrans.

ECce mittam meum velocem Angelum gravia operantem
Qui etiam præparavit vitam celeriter ante me,
Confestimq; veniet tunc Dominus fulminator,
Quem vos quaritis, & cœlestis testamenti (vos.
Nuncius latipotens, cujus cœpit desiderium legitimũ
Ecce gloriosè venit & cuncta gubernans.
Dicit Deus. Sed quisnam mortalium super terra cibum comedentium
Diem adventus ejus molestum poterit sustinere?
Aut quis apparente illo futurus est inculpatus?
Igni enim aurifuforis fervido similis est,

ἠδὲ πόῃ θνητῶν νιπτόντων πάμπαν ἐοικώς
ὃς παίδας λεὶ χωνεύσει καὶ καθαρίσσει,
ὡς καθαρίζουσιν χρυσόν τε καὶ ἄργυρον ἄνδρες,
καὶ τότε εἰν ὁσίῃ θυσίαν ὄισουσιν ἀρίστην
κυρίῳ ἡμετέρῳ πανυπερτάτῳ αἰὲν ἐόντι
θύμασι κυδαλίμοις, οἷς τέρψεται ὃν κατὰ θυμὸν,
ὥσπερ πρὸ πλείστων περιτελλομένων ἐνιαυτῶν.

ΕΥΑΓΓΕΛΙΟΝ.

Partes huius evangelij duae sunt.

Λουκ. β.

Ὑπόθεσις.

Παρθενικὴ μήτηρ εἰς ναὸν ἄγει τὸν Ἰησοῦν,
Τόνδε γέρων μεγάλως εὐλογέει Σιμέων.

Αὐτὰρ ἐπεὶ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦτε
τοῦ καθαρισμοῦ, ἐὺς Μωσῆς ἃς τάξε γυναιξί.
δὴ τότε εἰς ναὸν λαοσσόον ἦγον Ἰησοῦν,
οἱ τοκέες γεραροὶ, ἵνα μιν προπάροιθε θεοῖο
ἀθανάτοιο τιθῶσι, καθὼς γεγραμμένον ἐστὶν
ἐν νόμῳ αἰδοίῳ τοῦ κυρίου ὑψιμέδοντος.
(ἄρσεν γὰρ σύμπαν μήτραν ποτὲ ὅ,τ τι ἀνόιγοι
τῷ θεῷ αἰδίῳ ἅγιον λληθήσεται αἰεί)
θύματα καὶ δῶσιν, Μωσῆς ἃ κέλευσε γεραιὸς.
τρυγόνας, ἠὲ πελειῶν τρηρώνων δύο ἄλλας
ἐσκεδ' ἀνήρ τις ἐκεῖ Σολύμων ἐνὶ ἄστεϊ δίῳ,
γήραϊ ὅστις ἔην κυφός τε καὶ ἤσκεεν ἔργῳ
εὐσεβίην ἁγνῶς, Σιμέων δὲ οἱ οὔνομα ἔσκε

Et saponis hominum lavantium prorsus imaginem
Qui filios Levi conflabit ac repurgabit, (refert,
Ceu purgant aurum q; & argentum viri.
Atq; tunc in sanctitate hostiam offerent optimam
Domino nostro altissimo semper existenti
Sacrificijs glorioſis, quibus delectabitur suo in animo,
Sicut ante plurimos circumvolutos annos delectatus fuit.

EVANGELIUM,
Luc. 2.

Summa.

Virgo mater in templum ducit Iesum,
Hunc senex magnificè celebrat Simeon.

SEd postquam menses q; & dies completi essent
Purgationis, bonus Moses quos constituit mulierib.
Tunc in templum servatorem ducebant Iesum,
Parentes venerandi, ut ipsum coram Deo
Immortali sisterent, quemadmodum scriptum est
In lege veneranda Domini omnipotentis,
(Masculinum n. omne, vulvam fortè quod aperit,
Deo aterno sanctum vocabitur semper)
Hostias q; darent, Moses quas præcepit senex,
Turtures pulcros, aut alias duas columbas.
Erat autem vir quidam illic Solymorum in urbe divâ,
Ore senectute qui erat curvus, & exercebat facto
Pietatem sancti, Simeon verò ei nomen erat.

Et

καὶ παρέμιμνε Φίλην Ισραῆλος παράκλησιν,
πνεύματος ὢν πλήρης, θεοῦ ἱερὸν ἔλλαχε χρησμὸν,
οὐ πρὶν λευγαλέον θάνατον καὶ πότμον ἐπισπεῖν,
πρὶν σωτῆρα ἴδεν τὸν ἀλεξίκακον βασιλεῖα.
ὡς δ' ὁ γέρων κατέδυ τὸν ναὸν καλλιθέ μεθλον,
ἤλυθον οἱ γονέες σὺν ἑῷ Φίλῳ υἱῷ Ιησοῦ,
ὅππως ποιῶσιν περὶ τοῦδ', ὅσ' ἄνωγεν ὁ Μωσῆς
ἐν νόμῳ εὐσεβέως μεγάλου ἰότητι θεοῖο.
ἀγκῶνας δὲ ἀνὴρ ἐς ἑὰς ἐπεδέξατο παῖδα,
σεμνολογῶντε θεὸν περικαλλέα ὕμνον ἀείδε.
κύριε ὑψίμεδον, βασιλεῦ, Φίλε δῶτερ ἐάων,
ἡσυχίως θεράποντα τεὸν δὸς νῦν με ἀπελθεῖν
ἐκ τούτου κόσμου, τε καὶ ἡδέα πότμον ἐπισπεῖν.
λυτρωτὴν γὰρ ἐγὼ τεὸν ὀφθαλμοῖσιν ὄπωπα,
ὃν σὺ ἔτευξας ἔμεν λαῶν προπάροιθεν ἁπάντων,
παντοδαπῶντ' ἐθνῶν μεγάλως φωτισμὸν ἀληθῆ,
ἠδ' Ισραῆλος δόξαν λαοῖο τεοῖο.

ΕΝ ΗΜΕΡΑ ΜΑΤΘΙΟΥ ΤΟΥ ΑΠΟΣΤΟ-λου, ἐπιστολὴ ἐν ταῖς πράξ.α.

ὑπόθεσις.

Ἐς τόπον ἐκλέγεται ἅγιος προδόταο Ιούδα,
Ματθίας κλήρῳ, οὐκ ἀέκητι θεοῦ.

ΗΜασιν ἐν τούτοις Πέτρος μεγάθυμος ἀναστὰς
εἰν ἁγίοισι μαθητῇσιν τοιὸν φάτο μῦθον,
(ἠὺ δ' ὡς εἴκοσι ἠδ' ἕκατον τότ' ἀολλέες ἄνδρες)

κλῦτο

Et expectabat caram Israëlis consolationem, (lum,
Spiritu existens plenus, Dei sacrum acceperat oracu-
Se non antè tristem mortem ac fatum subiturum,
Quàm servatorem vidisset mala propulsantẽ regẽ,
Cumq; senex ingrederetur templum benè fundatum
Venerunt parentes cum suo dilecto filio Iesu,
Ut facerent de illo, quæcunq; jusserat Moses
In lege religiosè, magni de voluntate Dei.
Ulnis autem vir in suis suscepit puerum,
Celebransq; Deum perpulcrum hymnum cecinit:
O Domine altipotens, rex dilecte dator bonorum,
Tranquille famulum tuum sine nunc me exire
Ex hoc mundo, & dulcem mortem oppetere.
Redemtorem enim ego tuum oculis vidi.
Quem tu feciſti esse populis coram omnibus,
Omnigenisq; gentibus magnificè illuminationem ve-
Et Israëlis gloriam populi tui. (ram,

IN DIE MATTHIAE APOSTOLI,
Epistola, Actor. I.

Summa.

In locum eligitur sanctus proditoris Iudæ
Matthias sorte, non invito Deo.

Diebus in illis Petrus magnanimus surgens
Inter sanctos discipulos, talem locutus est ser-
monem: (viri)
(Erant autem ad viginti & centum tunc congregati
Audite

κλῦτε μοῦ Ὁσιδέες πολὺ φίλτατοι ἄνδρες ἀδελφοί,
πλῆρωθῆναι ἔδει, ὃ πάρος μαντεύσατο δῖον
πνεῦμα Δαὶ στόματος ἐξ κυδαλίμοιο Δαβίδος,
τοῦ περὶ δόντος δυσεβὲς περὶ Ἰσπαριώτεω Ἰούδα,
ὃς κοινωνὸς ἦεν ἡμῶν ἔταρός τε μαθητὴς,
ὅτ' χωρίον ἐκ μισθοῦ ἐκτήσατο λυγρῆς,
καὶ πρηνὴς ἐλάκησε μέσος, (φοβερὸν μὰλ' ἐνισπεῖν)
πλαγχνάτε ἐξεχύθη αὐτοῦ σύμπαντα χάμαζε.
καὶ γνωστὸν τόδε πᾶσιν ἐγένετο πᾶσιν Ἱεροσολύμοις,
ὥστε πύργον Σολύμων, ἀγρὸς τε καλεῖται ἐκεῖνος
τῇ κείνων Ἀκελδάμα ἀκέλδαμα ὅ, τι γεραιοῖς
ἠδὲ βρετοῖς ἐλλιώεσιν, ἐλοὸς αἵματος ἀγρὸς.
καὶ γὰρ ἔφη Δαβὶδ ἐν ψαλμοῖς δοὺς ἀοιδὸς.
ἔστω ἀτρεκέως αὐτοῦ ἔπαυλις ἔρημος,
καὶ τάξιν κλῆρον αὐτοῦ λάβοι ἄλλος,
δεῖ γὰρ νῦν ἡμᾶς ἀνδρῶν ἑτέρων ἵνα ἄλλον
ἡμῖν οἳ συνομίλησαν πανὶ χρόνῳ αὐτῷ,
ὡς χριστὸς θεὸς ὑμῶν συζῆ ἄμμι διδάσκων,
καὶ ποιῶν σημεῖ' ὀνομάσματα, θαῦμα ἰδέσθαι,
ἤρξάμην κυτρὸς ἀπὸ βαπτισθῆς περικλύθω,
καὶ λήγων ἀνέβη πρὸς Ὄλυμπον χαλκοβατὲς δῶ.
πιστὸν ἀναστάσεως αὐτοῦ νῦν μάρτυρα θεῖναι,
ἔμμορα ἡμέτερον χρηστὸν κεδνόντα σωτῆρα.

Ὡς φάτο ἰχθυβόλος Πέτρος πεπνυμένα εἰδώς,
καὶ δύο ἔστησαν τὸ Ἰωσὴφ ἄνδρα γεραίον,
καὶ Ματθίαν, τοῖν τ' εὐχὴν ἱκέτευον
κύριε πάντων τε καὶ ἥτορα πάντων νοῆσαι,

δεῖ ξα

Audite me, pij longè carissimi viri fratres,
Impleri oportebat, quod antea prædixit divinus
Spiritus per os glorioſi Davidis,
Proditore impio de Iſcariote Juda,
Qui ſodalis erat noſter, ſocius q3 diſcipulus.
Hic agrum ex mercede poſſedit exitioſa, (dū dictu)
Et præcipitatus crepuit medius, (horrendum admo.
Viſcera q3 effuſa ſunt ejus omnia in terram;
(Et notum hoc eſt cunctis inhabitantibus civitatem
Benè turritorum Solymorum, ager q3 vocatur ille,
Ipſorum dialecto, akeldama, quod venerandis
Eſt hominibus Græcis, pernicioſus ſangvinis ager.)
Etenim dixit David in Pſalmis divinus vates:
Futura eſt certò ipſius habitatio deſerta,
Et epiſcopatum inclytum ejus accipiet alius. (alium,
Oportet igitur jam nos virorum ſociorum quempiam
Nobiſcum qui converſati ſunt omni tempore illo,
Quo Chriſtus Dei filius vixit nobiſcum docens,
Et edens ſigna præclariſſima, mirabile viſu,
Incipiens à lavacro Baptiſtæ præcurſoris,
Et deſinens aſcendit in cœlum ſolidam domum,
Fidelem reſurrectionis illius nunc teſtem cõſtituere,
Ut ſit noſter ſtrenuus probus q3 coadjutor.
Sic dixit Piſcator Petrus prudens,
Et duos ſtatuebant, Joſephum virum venerandum,
Et Matthiam, tales q3 preces faciebant:
O Domine, qui cuncta vides, & pectora omnia noſti.

δεῖξον ὃν ἐξέλεγες νῦν τοῖνδε δυοῖν, φίλε, ὑμῖν,
ὄφρα λάβῃ κλῆρον θεῖον καὶ τάξιν ἐκείνην,
ἐκ τῆς ἐξέπεσεν λυγρῶς κακοεργὸς Ἰούδας.
ἠδὲ βάλον κλῦρον, τάχα ὃς πέπτωκεν ἐπ' ἄνδρα,
Ματθίαν; ὃς ἄφαρ παρελήφθη ἐς ἱερὸν ἀριθμὸν
ἕνδεκα τῶν θείων ῥύστου Χριστοῖο μαθητῶν.

ΕΥΑΓΓΕΛΙΟΝ,
Ματθ.ια.

ὑπόθεσις.

Σεμνολογεῖ Χριστὸς γενετῆρα ἑὸν θεοῦ υἱεὺς,
ἠδὲ ἁμαρτωλοὺς πάντας ἐφ' οἱ καλέει.

Οὐρανὸν εἰσανιδὼν ὧδ' εὔχετο πατρὶ ὁ σωτὴρ·
σοὶ μὲν ἔχω χάριν ὦ πάτερ ἐσθλὲ, ὃς ἐμβασιλεύεις
οὐλύμπῳ μεγάλῳ καὶ τῇ χθονὶ πουλυβοτείρῃ,
ἀγχινόοις ἔτι καὶ συνετοῖσιν ταῦτα ἔκρυψας,
νηπιάχοις δ' ἁπλοῖς εὔνως ἀπὸ τοῖα κάλυψας,
ἀπτεκέως, πάτερ, ὧδε σαφῶ τεῷ εὔαδε θυμῷ.
πάντα δ' ἐμοὶ ἐδόθη γεραροῦ ὑπὸ πατρὸς ἐμοῖο,
οὐρανῷ ἐν μακρῷ καὶ ἐπὶ χθονὶ ὅσσα ὑπάρχει.
οὐδεὶς ἀνθρώπων ἀριδείκετον υἱὸν ἀνέγνω,
εἰ μὴ παντοκράτωρ ὁ πατὴρ μήνος ἀστεροπητὴς.
οὐδέ τις οὐράνιον πατὲρ ἔγνω παμμεδέοντα
γηγενέων ἀνδρῶν, πλὴν τοῦ μόνου υἱοῦ ἀμέμπτου.
ἠδὲ ὅτῳ υἱεὺς, ἐν κόλπῳ ἑοῖο γονῆος
αἰὲν ἐὼν ἐθέλῃ τόνδ' αὐτομάτως φανερῶσαι.

δεῦτε

Ostende, utrum elegeris nunc ex his duobus dilecte nobis,
Vt capiat sortem divinam, & functionem istam
Et qui excidit miser improbus Judas.
Et jecerunt sortem, protinus quæ cecidit super vi-
Matthiam, qui statim assumtus est in sacrum numerum (rum,
Undecim divorum liberatoris Christi discipulorum.

EVANGELIUM,
Matth. 12.

Summa.

Celebrat Christus genitorem suum Dei filius,
Et peccatores cunctos ad se vocat.

Cœlum intuens sic orabat, patrem servator:
Tibi quidem habeo gratiã ô pater bone, qui im-
In olympo magno, & terra multorũ alumna, (peras
Perspicacibus quod & prudentibus hæc abscondisti,
Infantibus autem teneris benevolè hæc revelasti:
Certè, ô pater, ita sapienti tuo placuit animo.
Omnia verò mihi data sunt venerando à patre meo,
Cœlo in excelso & super terra quæcunq; sunt,
Nemo hominum inclytum filium cognovit,
Nisi omnipotens pater solus fulminator. (perantem
Nec quisquam cœlestem patrem novit omnibus im-
Terrestrium virorum, præter solum filium inculpa-
Sicui filius, in sinu sui patris (tum,
Semper existens, voluerit illum ultrò manifestare.

δεῦτε βεβτοὶ πάντες θαλερῇ νέοι ἠδὲ γέροντες,
δεῦτε οἵ ζυγοί τ' ἄνδρες παλαιά τε γυναῖκες,
ὅσοι ἀχεῖτε ἀταθαλίης βεβαρηότες αἰνῶς.
πρὸς με ἵκεσθε ἀπηλεγέως ἀναχήμψοι ἦτορ,
ψύξω ἐγὼν ὑμᾶς ἀθεμίστους καίτοξ ἐόντας.
ζεῦγος ἐμὸν ταχέως ὑπὸ ὑμᾶς αἴρετε πάντες.
μαθήσετε κλυτὰ δόγματα, ὅσα ἔγωγε διδάσκω,
ἐ γὸ νηλεὲς ἦτορ ἔχω, φίλοι, ἀλλ' ἐλέημον.
ἥπιος ἀτρεκέως κραδίη πέλω ἠδ' ὑπήκοος.
καὶ ὑμετέρης ψυχῆς εὑρήσετε παῦσιν ἀρίστην.
ζυγὸς ἐπεὶ ζύγιος ἐστὶν ἐμός τε καὶ ἄχθος ἐλαφρόν.

ΕΝ ΗΜΕΡΑ ΠΡΟΣΑΓΓΕΛΙΑΣ ΜΑΡΙΑΣ τῆ παρθένῳ, ὑπόληψις Ησαΐ. ζ.

Ὑποθεσις.

Παρθένος αἰδοίη οὐκ ἐν Φιλότητι μιγεῖσα
ἀνδρὶ βροτῷ, λίκτης μέγα λαόσσοον.

Καὶ τότε αὖτε θεὸς πρὸς Ἄχαζ τοιαῦτα ἔφατο.
αἶτε σημεῖον σῷ γε κυρίῳ ὑψομέδοντος
βαθὺν ἐν μακρῷ, ἢ ταρτάρῳ ἐν κευθμῶνι
αὐτὰρ Ἄχαζ ὁ ἄναξ αὖθις παρεμείβετο μύθῳ.
οὐκ αἰτήσω, ὅπως μὴ πειράσω εὐμενέοντα,
τὸν δ' αὖθις προσέφη θεὸς κεκοτηότι θυμῷ,
κέκλυτέ μοι θαλερῇ παῖδες κλυτοῦ Ιάδα
ὔμμι δοκεῖ ὀλίγον, γὼ ἀνδρῶν σθένος ἀμμάσαι,
ἠ μὴ ἀμήσητε ὁμοῦ θεὸν ἀσεργητῖσι,

τάνεκα

Venite mortales cuncti, floridi juvenes ac senes,
Venite clamitosiq; viri, miseraq; mulieres,
Quotquot doletis peccatis oppressi graviter.
Ad me venite, duriter qui angimini corde,
Reficiam ego vos sceleratos quamvis existentes.
Jugum meum confestim super vos tollite omnes.
Discite praclara dogmata, quacunq; ego doceo.
Non enim immane pectus habeo ô dilecti, sed miseri-
Mansvetus verò corde sum & clemens. (cors.
Et vestris animabus invenietis requiem optimam.
Leve quoniã jugum est meũ, & onus portatu facile.

IN DIE ANNUNCIATIONIS MARIÆ, Epistola Esaiæ 7.

Summa.

Virgo veneranda non in amore commixta
Viro mortali parit filium populorum salvatorem.

ET tunc rursum Deus ad Acham talia locutus est,
Pete signum à Domino altipotente,
Cœlo in alto, aut tartaro in horrido.
Sed Achas rex iterum respondit verbo:
Non postulabo, ne tentem altipotentem.
Hunc verò rursum allocutus est Deus irato animo:
Audite me ô floridi pueri inclyti Juda,
Vobis ne videtur parum, genus hominum imbecillum
injuria afficere,
Nisi offendatis simul Deum fulminatorem?

τέκνα δώσω ἐγὼ σημεῖον ἀοίδιμον ὑμῖν.
Ἰδοὺ παρθένος, ἡ βρεφέτης σεσαφισμένοι ὄνῆς,
λήψεται ἐν γαστρὶ χρηστὸν καὶ τέξεται υἱόν,
τῷ μὴν ἐπώνυμον, Ἰμμανουὴλ, ἱερὸν ἔσαι,
βέτυρον φάγεται ἅμα καὶ μέλι ἡδὺ σκεῖνος,
πρὶν κακὸν ὄφρ' εἴδῃ φεύγειν, καὶ κάλλιμα ῥέζειν.

ΕΤΑΓΓΕΛΙΟΝ.

Λθκ. α.

Ὑπόθεσις.

Ἄγγελος ἀγγέλλει Μαρίῃ ἰότητι θεοῖο,
ὅτι ἔσαι μήτηρ χρειτὸς ἀλεξικάκου.

Ἡμος θ' ἑξ μιῶνες τοὶ ἐκ χρόνου ἐξετελεῦτο,
τῆμος κεδνότατος θεράπων θεοῦ ὑψιμέδοντος
πέμπετο Γαβριὴλ ἐξ οὐρανοῦ ἀστερόεντος,
Ναζαρὲθ εἰς ζαθέην πολιν ἐκ ἀρπτὸς Γαλιλαίης
ἀϐδίλῳ πρὸς παρθενικὴν, ἣ ἀνδρὶ γέρωνι
κλῃτῷ Ἰωσὴφῳ μεμνήστο, ὃς ἐρίσης
ἐκγέγαεν γλυφῆς κλῃτοῦο Δαϐίδος ἄνακτος.
παρθενικῇ θ' ἁγνῇ Μαρίῃ φίλον οὔνομα ἔσκεν.
τὴν ἐς δόμον καταδὺς εὐπηνέων ὁ ἄγγελος εἶπε.
χαῖρε σὺ παρθενικὴ λίην χαρίεσσα καὶ ἱρή,
κήδεται ἠδὲ φιλεῖ σε πατὴρ θεὸς αὐτοκρήτωρ,
καί σε γυναικῶν κόσμησεν πρὸ πολυτεράων;
Ὡς φάτο Γαβριὴλ. τὴν δ' ἔρομος ἔλλαϐε γῆνα,
θαμϐήσασα δ' μερμήριξε κατὰ φρένα λίην.

ποῖος

Propterea dabo ego signum eximium vobis:
Ecce virgo, non humani conscia tori,
Concipiet in utero, optimum q; pariet filium,
Cui quidem cognomen, Immanuel, sacrum erit.
Butyrum comedet simul ac mel dulce ille,
Improba ut discat fugere, & bona patrare.

EVANGELIUM,
Luc. 1.

Summa.

Angelus nunciat Mariæ volente Deo,
Quod futura sit mater Christi adjutoris.

CUm autẽ sex mensis ex eo tempore exacti essent,
Tunc clarissimus famulus Dei altipotentis
Mittebatur Gabriel è cœlo stellato,
Nazareth in divinam urbem fructuosæ Galileæ,
Venerandam ad virginem, quæ viro seni
Inclyto Josepho desponsata erat, qui ex optimo
Natus erat genere inclyti Davidis regis.
Virgini autem castæ Mariæ dilectum nomen erat,
Domũ verò ingrediens benè compactã Angelus dixit:
Ave tu virgo perquam gratiosa & sancta,
Curat at q; amat te pater Deus per se genitus,
Et te mulieribus ornavit præ fœminis.
Sic dixit Gabriel: Hanc a tremor invasit circa genua.
Stupefacta verò cogitabat in animo valde,

ποῖος ὁ ἀσπασμὸς πέλεται, καὶ ποῖος ὁ μῦθος,
ἄγγελος οὐράνιος δ' αὐτὴν πρὸς μῦθον ἔειπε.
θάρσει παρθενικὴ κεδνὴ, μὴ δείδιθι θυμῷ.
ὃς γὰρ ὄλυμπον ἔχει μακρὸν καὶ ἀπείρονα γαῖαν,
παντοκράτωρ ὁ πατήρ. σε φιλεῖ στέργει τε ἀληθῶς.
ἠνίδε συλλήψῃ καὶ τέξεαι ἀγλαὸν υἱὸν,
καὶ μετέπειτ' αὐτοῦ καλέσεις κλυτὸν οὔνομ' Ιησοῦν.
οὗτος γὰρ δύναμει ἔσεται ἀρετῇ τε μέγιστος,
ἠδὲ θεοῦ υἱεὺς κλυθήσεται εὐρυμέδοντος.
καὶ οἱ ἔδος δώσει θεὸς ἰφθίμοιο Δαβίδου
τοῦ πατρὸς κείνου, τοῦ σκηπτούχοιο ἄνακτος
ἠδ' ἄρξουσι δόμου καθύπερθεν ἀεὶ Ιακώβου,
οὐδ' αὐτοῦ ἔσται τέλος ἐνδόξου βασιλείας.

Ως φάτο ἡ Μαρίη δ' ἐξαῦτις ἀμείβετο μύθῳ.
εἰπέ μοι εἰρομένῃ θεοῦ ἄγγελε ἀστεροπητοῦ,
πῶς δύναται τοιαῦτα γένεσθαι, τύνη ἃ εἶπας,
οὐ γὰρ ἐγὼν ἐμίγην ἀνδρὸς φιλότητι καὶ εὐνῇ.

Ως λέγε παρθενικὴ, τὴν δ' ἄγγελος ἀντίον ἤυδα.
κλῦθί μευ ὦ Μαρίη, καὶ ἐμῶν ἐμπάζεο μύθων.
πνεῦμ' ἅγιόν σοι ἐφήξει ἀπ' οὐλύμποιο καρήνων,
ὑψίστοιό σε καὶ δύναμις θεοῦ ἀμφικαλύψει.
τοὔνεκα τοῦθ' ἅγιον, προφόωσθ' ὅ, τ' ἐς ὕστερον ἄξεις,
παῖς κληθήσεται ἀΐδιος θεοῦ αἰὲν ἐόντος.
ἠνίδε καὶ σὺ ὁμαίμων κεδνὴ Ελισσαβέτεια
σύλλαβε παῖδα φίλον σφετέρῳ ἐπὶ γήραος οὐδῷ,
χ' ἕκτος κυσσαμένη οὗτος μήν ἐστιν ἐκείνη,
τῆρα ὑπὸ θνητῶν ἥτις κικλήσκετο πάντων.

ῥήδια

Qualis salutatio esset, & quale verbum.
Angelus cœlestis autem ad illam verbum dixit:
Confide ô virgo veneranda, ne metuas animo,
Qui enim cœlum tenet altum & immensam terram
Omnipotens pater, te amat, diligit q; vere,
Ecce concipies & paries splendidum filium,
Et postea ejus vocabis inclytum nomen Jesum.
Hic enim potentia erit virtute q; maximus,
Et Dei filius vocabitur latipotentis.
Et ipsi sedem dabit Deus fortis Davidis
Patris illius sceptrigeri regis,
Et imperium tenebit domum super semper Jacobi,
Nec illius erit finis glorioſi regni.

Sic ait: Maria verò vicißim respondebat verbo:
Dic mihi interroganti, Dei Angele fulminatoris,
Quomodo possunt talia fieri, tu quæ dixisti?
Non enim ego mixta sum viri amori ac toro.

Sic dicebat virgo. Huic verò Angelus respondebat:
Audi me ô Maria, & meorũ curam suscipe verborum,
Spiritus sanctus te superveniet de cœli verticibus,
Altißimi te & virtus Dei obumbrabit. (produces,
Propterea istud sanctum, in lucem quod in posterum
Filius appellabitur æternus Dei sempiterni.
Ecce & tua cognata veneranda Elizabeth
Concepit puerum dilectum suo in senectutis limine,
Et sextus prægnanti hic mensis est illi,
Sterilis ab hominibus quæ vocabatur cunctis,

ῥήδια πάντα τελεῖν θεῷ, ἠδὲ ἀνήνυτον οὐδὲν.
Τόν δ' αὖτις Μαρίη παραμείβετο διὰ γυναικῶν.
δούλη ἐγὼ πέλομαι τοῦ κυρίου εὐρυμέδοντος,
εὔχομαι ἐκ θυμοῦ πληρωθήσασθαι ἅπαντα,
ὅσσα σύ μοι μεγάλοιο θεοῦ ἰότητι ἔειπας.

ΕΝ ΗΜΕΡΑ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΙΑΚΟΒΟΥ τῶν ἀποστόλων, ἐπιστολὴ Σοφί. ε.

ὑπόθεσις.

Δυσσεβέες σφετέρην κλαύσουσιν ἀπείρονα ἄτην,
καὶ κλέος εὐσεβέων, ἐν τῇ ἀναστασεῖ.

Θαρσαλέως ποτὲ οἱ ἀγαθοὶ στήσονται ἀλύπως
ἀντίον ὑβριστῶν, ὅσοι ἔθλιψαν ποτὲ αὐτοὺς,
ἠδὲ πόνους αὐτῶν ἱεροὺς ἀσόφως ἀθέτησαν.
ἐκ πάγλως δ' ἀνὰ θυμὸν θαμβήσουσιν ἰδόντες
εὐτυχίην τούτων καὶ ἀνέλπιστον μακαρισμόν.
καὶ τοιαῦτα πρὸς ἀλλήλους φθεγξονται ἀθύμως.
οὗτοι ἔασι βροτοί; ποτε οὓς κακομήχανοι ἡμεῖς
ἡδὺ γελάσσαμεν ὡς ἀχρήϊα ἄχθη δρούρης.
Φεῦ φεῦ ἡμετέρης μανίας λύσσης τε ἀμέτρου.
ἠνίδε νῦν καταριθμήθησαν τοῖς μακάρεσσι,
καὶ κλύρου μέτεχον πολὺ φερτάτου οὐρανιώνων.

ΕΥΑΓΓΕΛΙΟΝ.

Ιωάν. ιδ.

ὑπόθεσις.

Μὴ

Facilia omnia facta sunt Deo & impoßibile nihil.
Huic verò iterum Maria respondebat præstantiſ-
ſima mulierum:
Ancilla ego sum Domine latè imperantis.
Opto ex animo, ut perficiantur omnia,
Quæcunq; tu mihi potentis Dei voluntate dixiſti.

IN DIE PHILIPPI & JACOBI APOſtolorum, Epiſtola Sap. 5.

Summa.

Impij ſuam deplorabunt immenſam cladem,
Et gloriam piorum in reſurrectione.

INtrepide tunc boni conſiſtent citra luctum (illos,
Cõtra calumniatores, quicunq; afflixerunt quondã
Et labores illorum ſanctos ſtolidè contemſerunt.
Horribiliter autem animis ſtupeſcent intuentes
Felicitatem horum & inſperatam beatitudinem,
Et talia invicem loquentur deſperabundè:
Hi ſunt homines, olim quos improbi nos
Sdaviter riſimus, velut inutilia pondera terræ.
O noſtram inſaniam, rabiemq; immenſam,
Et nunc annumerati ſunt beatis, (colarum.
Et hæreditatem participarunt longè optimam cœli-

EVANGELIUM,
Johan: 14.

Summa.

Nos

Μὴ τρομέειν ἁγίους σωτὴρ ἐπιτέλλει ἑταίρους,
ἐν τῷ ὀλύμπῳ ἔμεν δώματα πολλὰ λέγων.

Καὶ σφετέρους Χριστὸς κεδνοὺς προσέειπε μαθητὰς;
μὴ ταρβείτω ἐνὶ στήθεσσί ποθ' ὑμέτερον κῆρ.
εἰς θεὸν εἰ πιστεύετε, καὶ πιστεύσατε εἰς μὲ.
οἴκῳ ἐν ὑψερεφεῖ σκηπτούχου πατρὸς ἐμοῖο
πλεῖσαι ἔασι μοναὶ περικαλλέες ἠδ' εὔπηκτοι.
τοῦτο δ' εἰ οὐχ' οὕτως εἴην, ὡς ὕμμιν ἔειπα,
νῦν σάφα φυμὶ ἔγω γε πορεύσεσθαι μάλα ὦκα,
τὸν τόπον ὥσκεν ἑτοιμάσσω ἐγὼ ὕμμι φέριστον.
εἰ δὲ ἄπειμι ἐγὼν, ἵνα μιν σκευάσσω, ἔπειτα
ἄψ ἀπονοστήσας πρὸς ἐμαυτὸν δέξομαι ὑμᾶς,
νόσφι μεριμνάων μετ' ἐμεῦ ὑμεῖς ἵνα ἦτε.
ἵστε δὲ ὅππη ἐντεῦθεν μέλλω ἀπελθεῖν,
ἠδὲ ὁδὸν, ποσὶν ἣν τινα βήσομαι, ἴστε καὶ ὑμεῖς.

Ὡς φάτο λυτρωτὴς, Θωμᾶς δὲ ἀμείβετο μύθῳ:
κύριε πῶς δυνάμεσθα νοεῖν πῶ ἐλεύσεαι ἔνθεν,
τὸν ὁδοῦ, ἣν σὸ ἔφης, πάντως ἀδίδακτοι ἐόντες.

Τόν δ' αὖτις προσέειπε θεοῦ παῖς Χριστὸς Ιησοῦς.
εἰμὶ ἔγω γε ὁδὸς, καὶ ζωὴ, καὶ τὸ ἀληθὲς;
οὐδεὶς δὲ πρὸς ἐμὸν πατέρ' οὐλυμπόν δε ἱκάνει
χωρὶς ἐμεῖο μόνου, ἐμέδ' εἰ γινώσκετε ὀρθῶς,
ἐγνώκει τε ὁμοῦ τὸν ἐμὸν γενετῆρα γεραιόν.
ἀλλ' ἤδη γινώσκετέ μιν τε καὶ εἴδετε αὐτόν.

Τόν δ' αὐλαόσοος θεοῦ υἱεὺς ἀντίον ἤυδα.
κύριε αἰδοῖον δεῖξον τεὸν ἄμμι τοκῆα
κύδιστον πολὺ φίλτατον, ἠδ' ἀρκεῖ τότε ἡμῖν.

Τὸν

Non tremere sanctos servator jubet discipulos,
In cœlo esse domus multas dicens.

ET suos Christus venerandos allocutus est disci-
Ne metuat in pectoribus fortè vestrũ cor(pulos.
In Deum si creditis, etiam credidistis in me.
Domo in excelsa sceptrigeri patris mei
Plurima sunt mansiones perelegantes & benè com-
Hoc verò nijta esset, ut vobis dixi, (pacta.
Nunc verè dico ego, me iturum per quàm celeriter,
Locum ut parem ego vobis optimum.
Quod si abeo ego, ut illum parem, deinceps
Statim reversus ad meipsum recipiam vos,
Citra ærumnas mecum vos ut sitis,
Nostis autem benè, quò hinc abiturus sim,
Et viam, pedibus quam iturus sum, nostis quoq; vos.
Sic dixit redemtor, Thomas verò respondebat verbo
Dn. quomodo possumus intelligere, quo abiturus sis
Via, quã tu dixti, omninò ignari cum simus? (hinc,
Hunc verò iterum affatus est Dei filius Christus
Sum ego via, & vita, & veritas, (Jesus,
Nemoq; ad meum patrem in cœlum venit
Absq; me solo, me autem si cognoscitis rectè,
Novistis simul meum genitorem venerandum.
Sed jam cognoscitis eum, & vidistis eum. (pus:
Hunc verò respondens verbis compellavit Philip-
Domine venerandum ostende tuum nobis parentem,
Glorioss̃imum longè carissimum, & satis est tunc
nobis.

Huic

τὸν δ' αὖ λαὸσ θεῦ ὑμῖν ἀνίον ἤυδα.
τόσον ἔγωγε χρόνον, φίλοι ἄνερες, ὔμμιν ὁμίλεω
ἔδων ἠδὲ πίων τε καὶ ἐζόμην μ' ὑμῶν,
ἀδὲ ὅμως ἐμὲ ὀφθαλμοῖσι καλίδετε ὑμεῖς;
σοὶ τὸ φίλιππε λέγω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
ὀφθαλμοῖσιν ὅλις σφετερῇσι; ἐμὲ ἐν χθονὶ λάζεσθε,
ὅτ' ὁμῶ λεύσετ τ' ἐμὸν ἦμετερ φίλισον.
ὕπε σὺ ἔν ἔφπας, δεῖξον τεὸν ἄμμι τοκῆα,
ἀχὶ σὺ πιστεύῃς, ὅτι ἐν πατρὶ εἰμὶ, καὶ αὐτὸς
εἰν ἐμοί ὄξιν ἀεὶ, τὸν δ' σὺ σώθεο μῦθον.
ῥήματα ὅσα λαλῶ, ἐμὰ σὰχ ἑῶ, ἀλλὰ γονῆ.
χρὴ δ' ὑμᾶς πιστεύειν, ὅτι ἐν πατρὶ ἰσάρχω,
ἠδ' ἐν ἐμοὶ ὁ πατὴρ ἐμὸς ὀβριμοεργὸς ἰσάρχει·
εἵνεκα τ' ἔργων, μεγάλως ἐγὼ ὅσα τελέω,
νῦν πιστεύσατε ἔμμεν ἀληθέα, ὅσα πιφαύσκω.
νῦν δ' ἐμὲ ὁμόσας ὁσίως τόδε ὔμμιν ἐνίσπω,
ὅστις ἐπιχθονίων ἀνδρῶν ἐσ' ἔμοιγε πεπιθὼν,
ἔρθα τάδ', ὅσα τελῶ, τελέσῃ ὅδε αὐτὸς ἅπαντα,
μείζονα καὶ τούτων αὐτὸς καὶ ἀρείονα ῥέξει.
εἰμι γὰρ ἐς γαίης πρὸς ἐμὸν ἦμετερ ἀγαπητὸν.
ὅτι ἐν ἐνόμαθι χθονὶ εἰν αἰτήσετε δία.
χρεὼ πρόθομον τάτη πάντως τόδε ὔμμιν ὀπάσω.

ΕΝ ΗΜΕΡΑ ΙΩΑΝΝΟΥ ΒΑΠΤΙΣΤΟΥ,
ἐπιστολὴ Ησαΐ. βθ.

ὑπόθεσις.

Χριστὸς

Huic autem rursus salvator Dei filius respondebat:
Tanto ego tempore, dilecti viri, vobiscum sum con-
comedens & bibens & sedens vobiscum, (versatus
Neq; tamen me oculis vidistis vos?
Tibi hoc ô Philippe dico, tu verò in præcordijs repo- 5
Oculis qui suis me in terra videt, (ne tuis:
Hic simul videt meum parentem carissimum.
Cur ergò tu dixisti? Monstra tuum nobis patrem.
An non credis, quòd in patre sim, & is
In me sit perpetuo? Hunc verò tu custodi sermonem, 10
Verba quæcunq; loquor, mea non sunt, verùm patris.
Oportet autem vos credere, quòd in patre sim,
Et in me pater meus potens sit,
Propter opera, potenter ego quæ perficio,
Nunc creditote esse vera, quæcunq; loquor. 15
Jam per me jurans sanctè hoc vobis dico,
Quicunq; terrestrium virorum in me confidit,
Opera hæc, quæcunq; perficio, perficiet is ipse omnia,
Majora etiam hic ille & præstantiora faciet.
Vado enim de terra ad meum parentem dilectum. 2
Quicquid in nomine meo terra petieritis in alma,
Manu promtissima omninò id vobis præbebo.

IN DIE IOHANNIS BAPTISTAE, Epistola Esaiæ 49.

Summa.

Chri-

3P3_575

Χριστὸς ἐπεξχόμενος, μὴ Ιουδαίον μόνον ἱρῶν,
ἀλλ' ἐθνῶν σωτὴρ ἔσται ὅδ' ὠφέλιμος.

Καῦτε μευ ἀμφίρυτοι νῆσοι φίλαι, ὅττικεν εἴπω,
ἀλλοδαποί τε λεῷ μῦθον φράζεσθε φέριστον,
ἐν τοκετοῖο ἐμοῦ ὁ θεός με κάλεσσε κραταιὸς,
καὶ πρὶν ἔμεν με, τὸ οὔνομα οἶδεν ἐμὸν μέγ' ἀκριβῶς,
ὡς τανύηκες ἄορ, στόμα τεῦξεν ἐμὸν μεγάθυμον,
ἠδὲ σκέπῃ σφετέρων χειρῶν ἔκρυψέ με θείων.
πλάσσε με τόξον ἔμεν μάλα καμπύλον, ἠδὲ φαρέτρα.
ἔμβαλεν ἰοδόκῳ, καί με πρὸς μῦθον ἔειπεν.
ἐσσὶ σὺ Ισραὴλ θεράπων ἐμὸς ἔξοχ' ἄριστος,
ἀνδῇ ἑῇ ἱερῇ ὅς με κλείσει μέγα σεμνῶς.
καὶ νῦν εἶπε θεὸς με καλέσσας, δοῦλον ὑπάρχειν.
ἠνίδε εἰς ἱερὴν διαθήκην θῆκα σε ἀνδρῶν
ἐθνῶν παντοίων, τοῦ ἔμεν κατ' ἀπείρονα γαῖαν
λαόσσον κλειτὸν, καὶ ἀλεξίκακον πυνάριστον.
σκηπτοῦχοι βασιλεῖς ὄψον τὸ ἐς ὦπα ἐκείνου,
ἔυξον τὸ τ' αὐτῷ θεὸν ὑψιμέδοντα σέβοντες.

ΕΤΑΓΓΕΛΙΟΝ,

Λουκ. α.

ὑπόθεσις.

Δῖον Ιωάννην τίκτει ἡ Ελισσαβέτεια,
Αὖ λαλέει τὸ πατὴρ εὐλογέει τε θεὸν.

Ὡς τῇ Ελιζαβὲτ ἦλθε χρόνος τοκετοῖο ἀμώμῳ,
δὴ τότε πρωτόγονον περικαλλέα γείνατο υἱόν.

γείτο-

Christus ubi venerit, non Iudæorum duntaxat sanctorum
Sed gentium servator erit hic salutaris.

AUdite me circumfluæ insulæ quod dicturus sum,
Et peregrini populi sermonem hunc considerate
præstantissimum.
A civitate mea Deus me vocavit potens, (quisitè.
Et antequam essem ego nomen novit meũ valdè ex-
Ceu acutum ensem os fecit meum intrepidum.
Et tegmine suarum manuũ occuluit me divinarum,
Finxit me, arcus ut sim valdè curvus, ac pharetræ
Inclusit sagittiferæ & ad me verbum dixit:
Es tu Israël servus meus longè optimus,
Voce sua sacra qui me celebrabit perquam decenter.
Et nunc dixit Deus me vocans servus ut sim.
Ecce in sanctam hæreditatem posui te hominum,
Gentium omnigenarum, ut sis perimmensam terram
Salvator celebrium, & opitulator longè optimus.
Sceptrigeri reges videbunt de facie illum,
Adorabunt illum Deum altipotentem venerantes.

EVANGELIUM,
Luc. I.

Summa.

Divum Iohannem parit Elizabeth,
Rursus loquitur verò puer, celebratâ, Deum.

POstquã Elizabeth venit tempus partus inculpatæ
Tunc primogenitum perelegantem peperit filium

Et Vicinæ

γείτονες ἀγχίθυροι δ' ὡς τοῦτ' ἐνόησαν ἅπαντες,
ὅττι θεὸς μεγάλως τε καὶ εὖ μάλα ῥέξε γυναῖκα,
σφὴν ἐλεημοσύνην δείξας δυναμίν τε κρατίστην.
πάντες ἐγήθησαν καὶ μητρὶ φίλῃ συνέχαιρον.
ἀλλ' ὅτε ἐκ τοῦδ' ἀκροφανὴς ἦλθ' ὀγδόη ἠώς
ἤλυθον εὐσεβέες καὶ κεδνότατοι ἱερῆες
παῖδα ἵν' ἀρτίτοκον περιτέμνωσιν κατὰ μοῖραν
καί μιν Ζαχαρίαν, πατρὸς οὐνόματ' ἐξονόμηνον
ἀλλὰ φίλη μήτηρ αὐτοὺς μύθοισι προσηύδα.
οὐχ' ὧδ', αὐτὰρ Ιωάννυς τῷδ' οὔνομα ἔσται.

Ως φάτο. οἱ δ' ἐξαῦτις ἀμειβόμενοι ἀγόρευον.
οὐδεὶς συγγενέεσσι τεοῖς ἐνί ἐστιν ἅπασιν,
ἐξονομακλήδην ᾧ τοῦτο τὸ οὔνομά ἐστι
καὶ πατέρ' ἄφθογγον τοῖς νεύμασιν ἐξερέεινον,
ᾧ τινι οὐνόματ' ἂν θέλοι υἱὸν ἑὸν καλέεσθαι.
καὶ τάχα αἰτήσας δέλτον γράφε κυδάλιμος φώς,
τοὔνομα ἔσται Ιωάννης τῷ παιδὶ νεογνῷ.

Ως γράφε, θαύμαζον θ' οἱ γείτονες ἐσθλοὶ ἅπαντες
καὶ τότε καρπαλίμως στόμα αὖτ' ἀνεώχθη ἐκείνου,
ἠδ' ὀρθῶς ἐλάλησε θεὸν κλείων ὀπὶ καλῇ.
θάμβος δ' εἷλε βροτοὺς περιοίκους. ἠδὲ καὶ ὅσσα
θᾶσσον Ιουδαίης κατ' ὀρεινὴν ὤχετο πάντη.
καὶ τότ' ἔπη τάδε πάντες ἐνὶ φρεσὶν ᾗσι τίθεντο,
θαυμάζοντες ἄγαν, μετὰ ἀλλήλοις ἀγόρευον
εἰπὲ, τί παῖς ὅδε ἀρτίγονος δῖος ποτε ἔσται;
καίμιν χεὶρ στιβαρὴ κρατεροῦ θεοῦ ἀμφεβέβηκε.
Ζακχαρίας δὲ πατὴρ ἐπλήσθη πνεύματος ἱροῦ.

Φραδ

Vicini propè habitantes autem cùm hoc intellexissent universi, (lieri,
Quod Deus magnificè ac benè admodum feciſſet mu-
Suam misericordiam ostendens, potentiamq; validissimam,
Omnes gavisi sunt, & matri dilectæ cõgratulati sũt,
Sed cùm ex hoc mane apparens venisset octava au-
Venerunt pij ac venerandi sacerdotes, (rora
Puerum ut recens natum circumciderent decenter,
Et ipsum Zachariam patris nomine vocabant,
Verùm dilecta mater eos verbis compellabat:
Non ita, sed Johannes ei nomen erit.
Sic ait. Illi verò iterum respondentes dicebant:
Nemo inter cognatos tuos est universos,
Nominatim cui hoc cognomen est.
Et patrem mutum nutibus interrogabant,
Quo nam vellet nomine filium suum vocari.
Et protinus poscens tabellam, scribebat celebris vir,
Nomen erit Johannes filio meo recens nato.
Sic scribebat. Mirabantur a vicini boni omnes.
Et tunc confestim os iterum apertum est illius
Et expedite locutus est, Deum celebrans voce pulcra.
Stupor autem cepit homines vicinos, & fama
Celeriter Judææ montanam pervagata est undiq;,
Et tunc verba hæc cuncti in præcordijs suis reponebãt,
Mirantes valdè invicem dicebant:
Dic, quid puer recens natus divinus aliquando erit?
Ipsum manus validæ potentiæ Dei circumdedit.
Zacharias verò pater repletus est Spiritu sancto,

φραδμοσύνης τε θεοῦ μαντεύσατο, ἠδὲ καὶ εἶπε.
παμμεδέοντα θεὸν κλυτοῦ Ισραῆλος ἐπαινῷ.
καὶ γὰρ ἑὸν κεδνὸν μεγάλως ἐπεσκέψατο λαὸν,
ἠδέ μιν ἐκ πάντων κρατερῶς ἐῤῥώσατο ἀλγῶν.
τῆς δὲ ἐλευθερίης ὅδ' ἔγηρε κέρας μέγ' ἀγαυὸν
οἴκῳ ἐν αἰδοίῳ παιδὸς σφετέροιο Δαβίδου.
ὡς διὰ κυδαλίμων ἀνδρῶν ἁγίων τε προφητῶν
ἐξ ἀρχῆς ἐλάλησε πρὸς ἡμᾶς πάνθ' ὁ κυβερνῶν
λύτρωσιν δώσει ἀπὸ πάντων δυσσεβεόντων;
χ' ὑμᾶς ἐκ χειρῶν ἐχθρῶν ἐκλύσεται ἀνδρῶν.
ἡμετέρους προγόνους θυμῷ ἐλέησε γεραιοὺς,
μνήσθη ἐπαγγελίης ἁγίης, ἣν πρόσθεν ὑπέστη.
ὄφρα τελειώσῃ μέγαν ὅρκον, τόν ποτ' ἐπώμνυ.
πατρὶ τῷ ἡμετέρῳ Αβραάμῳ, ἄμμιν ὀπάζειν,
ἠδ' ἀπὸ ῥυσθέντες φθονερῶν πάντων τε καὶ ἐχθρῶν,
θαρσαλέως λατρεύσωμεν τῷδ' ἤματα πάντα,
ἠδὲ δικαιοσύνην χ' ὁσίην προπάροιθεν ἐκείνου
ἀσκῶμεν πυνικῶς, μέχρις αὐζωοῖσι μετῶμεν.
ἀλλὰ σὺ παῖ κληθήσεαι ὑψίστοιο προφήτης.
τύνη γὰρ προπορεύσῃ ἐνώπιον εὐρυμέδοντος
κυρίου, ὅσκε παρασκευάσσῃς τὴν ὁδὸν αὐτοῦ.
λύτρωσις καὶ ἐλευθερίη αὐτοῖο διδῶται
λαῷ κυδαλίμῳ ἐν ὅλῃ ἀφέσει πλακιάων.
εἵνεκα τῆς ἐλεημοσύνης θεοῦ ἡμετέροιο
ἄμμιν ἀπ' ἀντολίης ἐφάνη φαεσιμβροτος ἠώς.
ἠέλιος καὶ ἑῆς αὐγῆς ἐπεδέρκετο ἡμᾶς.
ὄφρα φάνῃ καὶ τοῖς ταλαοῖσι βροτοῖσιν. οἳ ἤδη

εἴαται

Sapientiaq; Dei vaticinatus est, ac dixit:
Omnipotentem Deum inclyti Israëlis celebro.
Etenim suum illustrem magnificè visitavit populum
Et ipsum ex omnibus fortiter liberavit malis.
Et liberatis hic erexit cornu valdè praclarum
Domo in veneranda filij sui Davidis.
Sicut per celebres viros, sanctosq; Prophetas
Ab initio locutus fuit ad nos is qui cuncta gubernat,
Redemtionem dabit ab omnibus impijs,
Et nos è manibus inimicorum eripiet virorum. (rũ.
Nostrorum majorum animo misertus est venerando.
Recordatq; est promissionis sanctæ, quã antea dederat
Ut perficiat magnum jusjurandum, quod olim jura-
Patri nostro Abrahamo, nobis ut daret, (vit
Et liberati ab invidis omnibus ac inimicis
Cùm fiducia inserviamus illi diebus cunctis,
Et justitiam ac sanctitatem coram illo
Exerceamus sedulò, quoad vivis interfuerimus.
At tu fili nominaberis altissimi Propheta,
Tu enim præibis coram altipotente
Domino, ut prapares viam illius,
Et redemtio magnifica illius detur
Populo illustri, remissione in tota peccatorum,
Propter misericordiam Dei nostri
Nobis ab Oriente apparuit lucifera aurora,
Et Sol splendore suo aspexit nos,
Ut apparet etiam miseris mortalibus, qui nunc

εἶα δ' ἐν τοιαύτῃ νεφέεσσί σε τῷ θανάτοιο.
ἡμετέρας τε πόδας σφαλερὰς ἄγῃ εἰς τὰ κέλευθα
καλὰ μάλα τῆς θείης εἰρήνης κηρυκτεύοντα.
ἄυξη δ' ἧς πάσης δι', καὶ πλήθοι τῇ ἀληθῇ
πνευματικῇ καὶ θεοσεπεῖ, ζωήν τ' ἐν ἐρήμοις
